## Οὐκραίνα

**25 Ἰανουαρίου 2023**



Ὁ τῆς Οὐκραίνας πρόεδρος Ζελένσκι πολλοὺς τῶν ἑαυτοῦ συμπραττόντων ἐκ τῆς ἀρχῆς ἐξέβαλεν ἅτε χρήματα λάθρᾳ τε καὶ παρανόμως κτησαμένους καὶ δωροδοκίᾳ χρησαμένους ἵνα πλουτοῖεν, πολλοὶ δὲ ἄλλοι, εἰδότες αὐτοὶ τὸ αὐτὸ πεισόμενοι, ἑκόντες τῆς ἀρχῆς ἐξέστησαν.

## Ἰσραῆλ

**28 Ἰανουαρίου 2023**



Ἐν τοῖς Ἱεροσολύμοις χθὲς μὲν Παλαιστίνος ἀνὴρ πρὸς Ἰσραηλινοὺς πολίτας ἐκ συναγωγῆς τινος ἐξιόντας ἐπυροβόλησεν, ἑπτὰ μὲν ἀπέκτεινεν, δέκα δὲ ἔτρωσεν· τήμερον δὲ ἄλλος Παλαιστίνος, οὗτος δὴ μόνον τρισκαίδεκα ἔτη γεγονώς, πρὸς ἀνθρώπους τινὰς ἐν τῇ ἀγυιᾷ ἑστηκότας ἐπυροβόλησεν, δύο δὲ ἔτρωσεν.

κατὰ δὲ τὸ Ἁμᾶς αὗται αἱ προσβολαὶ τιμωρίαν λαμβάνουσιν ὑπὲρ τῶν νεωστὶ ὑπὸ τῶν Ἰσραηλινῶν φυλάκων ἐν τῷ Ἰενὶν τῇ Πέμπτῃ ἀποθανόντων.

## Οὐκραίνα

**31 Ἰανουαρίου 2023**



Ὁ τῶν ΗΑΠ πρόεδρος Βῖδεν οὐδαμῶς βούλεται πολεμικὰ ἀεροσκάφη τῇ Οὐκραίνᾳ παρέχειν· καὶ εἰ νεωστὶ ὁ τῆς Γαλλίας πρόεδρος Μακρὸν καὶ ὁ τῆς Ὁλλανδίας πρωθυπουργὸς Ῥοῦττε προὔθεσαν χθὲς ἀεροσκάφη τῇ Οὐκραίνᾳ παρέχειν ἃ ὁ Ζελένσκι αὐτίκα τοῦ πολεμοῦ ἀρχομένου ᾔτησεν, ὁ Βῖδεν ταύτην τὴν εἰσήγησιν οὐ δέχεται.

χαλεπώτατον μὲν ἐγένετο τοῖς τῇ Οὐκραίνᾳ ἐπικουροῦσι περὶ τῶν τεθωρακισμένων ἁρμάτων πρὸς ἀλλήλους εὐαρμόστως ἔχειν, νῦν δὲ περὶ τούτου τοῦ νέου πράγματος ἁρμονίαν ἁρμόττεσθαι ἀδύνατον ἔσεσθαι δοκεῖ.

## Ἰσραῆλ

**1 Φεβρουαρίου 2023**



Ὁ Ἀντόνιος Βλῖγκεν, ὁ τῶν Ἐξωτερικῶν Ὑπουργὸς τῶν ΗΑΠ, συνελθὼν τοῖς τε Ἰσραηλίνοις καὶ τοῖς Παλαιστίνοις ἄρχουσι ταῖς προτέραις ἡμέραις, συνῆλθε χθὲς τῷ Μαχμοῦτ Ἀβᾶς, προέδρῳ ὄντι τῆς Ἐθνικῆς Παλαιστίνης Ἀρχῆς, ἐν τῇ πόλει Ῥαμάλᾳ πρὶν πρὸς τὰς ΗΑΠ ἐπανελθεῖν· καὶ εἰ ὁ Α. Β. το αὐτὸ εἶπε καὶ ἤδη πολλάκις τὸ πρότερον, ὅτι δέοι δύο αὐτονόμους χώρας καταστῆσαι, τῷ ὄντι κατὰ τὴν τελευταίαν ψηφοφορίαν μόνον τὸ 34% τῶν τοῦ Ἰσραῆλ πολιτῶν καὶ τὸ 30% τῶν Παλαιστίνων τούτῳ ἐπικουροῦσιν.

## ΗΑΠ

**4 Φεβρουαρίου 2023**



Ἐν ταῖς ΗΑΠ ἀεροστατικὴ σφαῖρα κατώφθη προχθὲς ἐν τῷ οὐρανῷ πετομένη· πρῶτον μὲν ἡ σφαῖρα ὑπὲρ τῆς Ἀλάσκα (ἤδη οὖν ὑπὲρ τῶν ΗΑΠ) ἔπτετο, ἔπειτα δὲ ὑπὲρ τῆς Καναδά, τέλος δὲ διὰ τῆς Μοντάνα ἐπαρχίας αὖθις εἰς τὸν τῶν ΗΑΠ οὐρανὸν εἰσέπτετο.

ἡ σφαῖρα Σινική ἐστιν, ὃ οἱ τῆς Σίνας ἄρχοντες ταχέως ὡμολόγησαν, ἀλλὰ κατὰ μὲν τὴν τῶν ΗΑΠ ἀρχὴν ἡ Σίνα τῇ σφαίρᾳ εἰς κατασκοπὴν χρῆται, κατὰ δὲ τὴν τῆς Σίνας ἀρχὴν τῇ μὲν σφαίρᾳ εἰς μετεωρολογικὴν ἔρευναν χρῶνται, ἀπὸ δὲ τῆς παρεσκευασμένης πορείας διὰ τεχνικὸν ἁμάρτημα ἐπλανήθη.

ὁ τῶν ἐξωτερικῶν ὑπουργὸς Ἀντόνιος Βλῖγκεν τὴν εἰς τὴν Σίναν πορείαν καθεῖλεν ἣν ἐν νῷ εἶχε ποιεῖν ἕως ἂν οἱ τῆς Σίνας ἄρχοντες τοῦτο τὸ πρᾶγμα διέπωσιν.

## Πακιστᾶν

**5 Φεβρουαρίου 2023**




Οἱ τῆς Πακιστᾶν ἄρχοντες τὴν ἔνδοξον ἱστοσελίδα Βικιπαιδείαν ἀπειρήκασιν, χθὲς γὰρ οἱ τῷ διαδικτύῳ Πακιστανοὶ ἐπιστατοῦντες, τοῖς ἄρχουσι πειθόμενοι, ταύτην τὴν ἱστοσελίδα

ἔκλῃσαν.

ἡ δὲ αἰτία; τῇ Τετάρτῃ ἡμέρᾳ οἱ Πακιστανοὶ ἄρχοντες τὴν ἑταιρείαν Βικιπαιδείαν ἐκέλευσαν τὰ ἀσεβῆ ἐνόντα δυοῖν ἡμέραιν ὑπεξελεῖν, καὶ εἰ οὐκ ἀκριβῶς διώρισαν ἅτινα ἐνόντα ἀσεβῆ εἴη. ὅμως δὲ εἶπεν ὁ τῆς ἀρχῆς φερέφωνος ὅτι αὖθις εἰς ταύτην τὴν ἱστοσελίδα εἰσβαίνειν ἐάσοιεν ἐφ' ᾧ τοιαῦτα ἐνόντα ὑπεξαιρεθῆναι.

## Τουρκία - Συρία

**7 Φεβρουαρίου 2023**



Δύο τοῦ 7.8 καὶ 7.6 βαθμοῦ διάδοχοι σεισμοὶ ἐγένοντο χθὲς ἐν τῇ Τουρκίᾳ καὶ τῇ Συρίᾳ, τὸ δὲ ἀποβὰν δεινότατον γέγονεν, 5,200 μὲν γὰρ ἄνθρωποι ἀπέθανον, ἄλλοι δὲ 15,000 ἐτρώθησαν, ἀλλὰ ὁ Παγκόσμιος τῆς Ὑγιείας Ὀργανισμὸς φοβεῖται μὴ τοῦ χρόνου προιόντος οὗτοι οἱ ἀριθμοὶ αὐξάνωνται· νῦν δὲ πάντες οἱ πολῖται διατείνονται ἵνα τοὺς ἔτι ὑπὸ τῶν καταπεπτωκότων οἰκημάτων κειμένους ἐκσώσωσιν. ἡ κατάστασις φοβερωτάτη δή ἐστιν.

πολλαὶ δὲ χῶραι ἐπικουρίαν πέμπουσιν· σῖτόν τε καὶ ἰατρικὰ σκεύη καὶ τοιούτων καταστάσεων ἐμπείρους.

## Βρουξέλλες

**10 Φεβρουαρίου 2023**



Ὁ τῆς Οὐκραίνας πρόεδρος, μετὰ τὴν πρὸς τὸ Λονδίνον καὶ τὸ Παρίσι πορείαν, χθὲς εἰς τὰς Βρουξέλλας ἀφικόμενος τοῖς τῆς Εὐρωπαικῆς Ἑνώσεως ἄρχουσι συνῆλθεν, οἳ αὐτὸν φιλοφρόνως ἐδέξαντο· ὁ δὲ Ζελένσκι εἶπε μὲν ἄλλα τε καὶ ὅτι ἡ Οὐκραίνα τὴν Εὐρωπαίαν δίαιταν ἐπὶ τὴν δικτατωρείαν φυλάττει, ᾔτησε δὲ ὅπλα, ἄλλα τε καὶ πολεμικὰ ἀεροσκάφη· ὅμως δὲ περὶ τοῦ τῶν ἀεροσκαφῶν πράγματος οἱ τῇ Οὐκραίνᾳ ἐπικουροῦντες οὐχ ὁμολογοῦσιν.

## Νικαράγουα

**10 Φεβρουαρίου 2023**



Ὁ τῆς Νικαραγούας πρόεδρος Ὀρτέγα (ἐν τῇ φωτογραφίᾳ) 222 τῶν τῇ ἀρχῇ ἐναντιουμένων χθὲς ἐκ τῆς χώρας πρὸς τὰς ΗΑΠ ἐξέβαλεν· κατὰ δὲ τὸν Ὀρτέγα οἱ μὲν δικασταὶ ἑκόντες τε καὶ οὐδαμῶς οὐδενὶ πειθόμενοι τούτων τῶν πολιτῶν φυγὴν κατέγνωσαν ἅτε προδότων ὄντων, οἱ δὲ ἐξεβλήθησαν ἵνα οἱ πολῖται τῆς τε δημοκρατίας καὶ τῆς ἐλευθερίας ἀπολαύωσιν, καὶ δὴ καὶ τῆς πολιτείας ἐστερήθησαν.

## Μολδαβία

**12 Φεβρουαρίου 2023**



Νεωστὶ ἐν ταῖς Βρουξέλλεσιν ὁ τῆς Οὐκραίνας πρόεδρος Ζελένσκι τὴν Ῥωσίαν ἐνεκάλεσεν τὴν Μολδαβίαν ταράττειν βουλομένην, χθὲς δὲ ἡ τῆς Μολδαβίας πρόεδρος, ἡ Μαΐα Σάνδου (ἣ ἐν ταῖς τῷ 2020ῷ ἔτει ἀρχαιρεσίαις τὸν Ἴγορ Δόδων τῇ Ῥωσίᾳ εὐνοοῦντα ἐνίκησεν) εἶπεν ὅτι ὁ Ζελένσκι τοιαῦτα λέγων οὐδαμῶς ψευδῆ εἴποι, ἡ γὰρ τῆς ἀσφαλείας ὑπηρεσία ᾔσθετο ὅτι ἡ Ῥωσία πειρᾶται νῦν πράττειν ὅπως ἡ Μολδαβία τὸ αὐτὸ καὶ ἡ Λευκορωσία γενήσεται, νῦν δὲ ἡ Μολδαβία φοβεῖται μὴ τῆς Οὐκραίνας νικηθείσης ἡ ἐπιγιγνομένη ὑπὸ τοῦ Ποῦτιν εἰσβληθεῖσα χώρα γένηται.

## ΗΑΠ - Σίνα

**14 Φεβρουαρίου 2023**



Λέγοιμεν ἂν ὅτι ὁ οὐρανὸς πλήρης ἐστὶν ἀεροστατικῶν σφαιρῶν καὶ ἄλλων ἀγνώστων τε καὶ ὑπόπτων ἃ οὐδεὶς οἶδεν ὁπόθεν ἥκει, ἡ δὲ νῦν νέα τακτικὴ ἥδε ἐστίν, πρῶτον μὲν καταβαλεῖν, ἔπειτα δὲ αἰσθάνεσθαι, τῶν γὰρ τελευταίων ἡμερῶν ἄλλαι τρεῖς ἀεροστατικαὶ σφαῖραι ὑπὲρ τοῦ Καναδᾶ καὶ τῶν ΗΑΠ πετόμεναι κατεβλήθησαν· νῦν δὲ ὁπόταν πρὸς τὸν οὐρανὸν βλέπωμεν τὴν ψυχὴν πραΰνειν βουλόμενοι ἀντὶ ἀστέρων ἀεροστατικὰς σφαίρας ὀψόμεθα, τὰς μὲν πετομένας, τὰς δὲ καταβαλλομένας.

ἡ τοῦ Xi Jinping ἀρχὴ τὰς ΗΑΠ μέμφεται ὅτι καὶ Ἀμερικαναὶ ἀεροστατικαὶ σφαῖραι κατώφθησαν ὑπὲρ τῆς Σίνας πετόμεναι, ἀλλὰ ὁ John Kirby, ὁ τῆς τῶν ΗΑΠ ἀρχῆς φερέφωνος,

ταχέως τοιαῦτα ἐγκλήματα ἀπέωσεν. ὡς δοκεῖ, ὁ νέος “ψυχρὸς πόλεμος“ ἐν τῷ οὐρανῷ γενήσεται.

## Ἀφγανιστᾶν

**17 Φεβρουαρίου 2023**



Οἱ Ταλιβάνες, ἐν τῇ ἐφημερίδι “One Unmah“ καλουμένῃ, ἐποτρύνουσι πάντας τοὺς Ἰσλαμιστὰς τὸν τοῦ τῆς Ἀγγλίας Βασιλέως υἱὸν Harry ἀποκτείνειν. ὁ Harry δέκα μὲν ἔτη ἐστρατεύσατο, ὧν τὰ 2012-13α ἐν τῷ Ἀφγανιστᾶν, ἐν δὲ τῇ βίβλῳ “Spare“ ἑαυτῷ γεγραμμένῃ μεγαλαυχεῖται εἴκοσι καὶ πέντε Ταλιβάνας ἐκεῖ ἀποκτεῖναι· νῦν οὖν οἱ Ταλιβάνες αὐτῷ μὲν τὸν θάνατον ἀπειλοῦσιν, τὴν δὲ Βρετανικὴν ἀρχὴν ἐποτρύνουσι τοὺς δορυφόρους ἀπ' αὐτοῦ ὑφαιρεῖν ὡς τὰ βασιλικὰ προσήκοντα καταλιπόντος.

## Πολωνία

**19 Φεβρουαρίου 2023**



Τῇ Παρασκευῇ, τοῦ τῆς Ἀσφαλείας Συνεδρίου ἐν τῷ Μονάχῳ γιγνομένου, ὁ τῆς Πολωνίας πρωθυπουργὸς M. Moraviecki τὴν Εὐρωπαικὴν Ἕνωσιν ᾔτησε τὸν μὲν νοῦν μεταβαλεῖν μηδὲ εἰπεῖν ὅτι δεῖ τὴν Ῥωσίαν ἐν τῇ Οὐκραίνᾳ μὴ νικᾶν ἀλλὰ καὶ εἰπεῖν ἄρχεσθαι ὅτι δεῖ τὴν

Ῥωσίαν ἐκεῖ ἡττᾶσθαι, ὃ οὐδαμῶς τὸ αὐτό ἐστιν· κατὰ δὲ τὸν Μ. Μ. οἱ μὲν Οὐκρανοὶ οὐ μόνον ὑπὲρ τὴν ἑαυτῶν ἐλευθερίαν ἀποθνῄσκουσιν ἀλλὰ καὶ ὑπὲρ τῆς Εὐρώπης, ἐθέλει δὲ αὐτὸς πολεμικὰ ἀεροσκάφη τῇ Οὐκραίνᾳ παρέχειν ἐφ' ᾧ τὰς ἄλλας συμμάχας χώρας τὸ αὐτὸ ποιῆσαι.

ἡ Πολωνία τοῦ Δευτέρου Παγκοσμίου Πολέμου τελευτήσαντος τετταράκοντα καὶ ὀκτὼ ἔτη τῇ Ῥωσίᾳ δεδμημένη ἔκειτο, τοῦτο δὲ τοσαῦτα ἔτη παθοῦσα φοβεῖται μὴ αὖθις τὸ αὐτὸ γίγνηται.

## Ῥωσία - ΗΑΠ

**22 Φεβρουαρίου 2023**



Ὁ τῆς Ῥωσίας πρόεδρος Ποῦτιν καὶ ὁ τῶν ΗΑΠ πρόεδρος Βαῖδεν χθὲς διαλεκτικὴν μάχην ἐμαχέσαντο· πρῶτον μὲν ὁ Ποῦτιν τοῖς Ῥωσικοῖς βουλευταῖς δημηγορῶν διεβεβαιώσατο μὲν ὅτι τὸν ἐν τῇ Οὐκραίνᾳ πόλεμον οὐ παύσει ἕως ἂν τὴν νίκην κτᾶται, εἶπε δὲ ὅτι αἱ ἑσπέριαι χῶραι τῇ Ῥωσίᾳ ἐπιτιθέμεναι τούτου τοῦ πολέμου ἤρξαντο, καὶ δὴ καὶ ἐμεγαλαυχήσατο λέγων ὅτι ἡ Ῥωσία ἀνίκητός ἐστιν· ἔπειτα δὲ οὐ διὰ πολλοῦ ὁ πρόεδρος Βαῖδεν ἀπεκρίνατο ὅτι ἡ μὲν Ῥωσία τῇ Οὐκραίνᾳ δυσμαχεῖ, ἡ δὲ Οὐκραίνα οὐδέποτε νίκη οὐδεμία τῷ Ποῦτιν γενήσεται πειρωμένῳ τὴν ἀρχαίαν Ῥωσικὴν ἀρχὴν ἀνιστάναι. οἷα φιλεῖ γίγνεσθαι, ὁ πόλεμος οὐ μόνον κατὰ γῆν καὶ κατὰ θάλατταν γίγνεται ἀλλὰ καὶ κατὰ τὴν ῥητορείαν.

## Ἡνωμένων Ἐθνῶν Ὀργανισμός

**24 Φεβρουαρίου 2023**



Χθὲς τῇ Πέμπτῃ ἡ τῶν Ἡνωμένων Ἐθνῶν Ἐκκλησία ἀπόφασιν ἐψηφίσατο καθ' ἣν τὴν Ῥωσίαν αἰτεῖ ὡς τάχιστα τὸ στράτευμα ἐκ τῆς Οὐκραίνας ἀπάγειν· τῶν δὲ 193 χωρῶν αἳ τοῦτον τὸν ὀργανισμὸν συνιστᾶσι ἑκατὸν τετταράκοντα μία ὑπὲρ τῆς ἀποφάσεως ἐψηφίσαντο, τετταράκοντα πέντε δὲ οὐδεμίαν ψῆφον εἴσαν, ἓξ δὲ τῆς ἀποφάσεως κατεψηφίσαντο. ὅμως δὲ αὕτη ἡ ψηφοφορία, ἅτε οὐ δεσμεύουσα, παντελῶς ἀλυσιτελής ἐστιν (εἴη δὲ ἂν ἀλυσιτελὴς καὶ εἰ δεσμεύοι), δηλοῖ δὲ τὴν σχίσιν τὴν ἐντὸς τούτου τοῦ ὀργανισμοῦ.

## Τουρκία

**26 Φεβρουαρίου 2023**



Χθὲς πρᾶγμά τι ἐγένετο ἐν πολλοῖς τῆς Τουρκίας ποδοσφαιρικοῖς σταδίοις, παραδείγματος ἕνεκα ἐν τῷ τῆς ἑταιρείας Βεσίκτας σταδίῳ, ὃ πράττει ὅπως πᾶσιν ἡμῖν αἱ ἐν τοῖς ἀνθρώποις ἐλπίδες ἀναγεννήσωσιν.

ὁ δεινὸς σεισμὸς ὃς τῇ 6ῃ τοῦ Φεβρουαρίου τοσούτους ἀνθρώπους ἀπέκτεινε τῆς νυκτὸς ἐγένετο, τῇ 4:17 ὥρᾳ, διὰ δὲ τοῦτο οἱ τῆς Βεσίκτας ἄρχοντες πρὸ τοῦ ἀγῶνος τοὺς θεατὰς πρὸς τὸ στάδιον ἐλευσομένους ᾔτησαν τῷ 4:17 λεπτῷ παιδικοὺς ἄρκτους βάλλειν ὑπὲρ τῶν παίδων τὸν σεισμὸν παθόντων, οἱ δὲ τῷ 4:17 τοῦ ἀγῶνος λεπτῷ ἤρξαντο τὰ παίγνια πρὸς τὴν πόαν παγίως βάλλοντες· τοῦ δὲ ἀγῶνος παυσθέντος, πολλοὶ τῶν ἑκατέρας ὁμάδος ποδοσφαιριστῶν ἐν ᾧ τὰ παίγνια ἐκ τῆς πόας ἐξετίθεσαν τὰ δάκρυα κατέχειν οὐκ ἐδύναντο.

εἰ βούλει τοῦτο θεᾶσθαι, τοῦτον τὸν σύνδεσμον πίεσον.

## Ῥωσία

**1 Μαρτίου 2023**



Χθὲς ἐν τῷ τῆς Ῥωσίας οὐρανῷ ὑετὸς ἐγένετο τούτων τῶν ὀργάνων ἃ ὡς ἐπὶ τὸ πολὺ “δρόνες“ καλεῖται (πετόμενα οὐδενὸς κυβερνῶντος ὄργανα)· τῶν μὲν ὀργάνων ἃ χθὲς ἐπεφάνη τρία κατεβλήθη, περὶ δὲ τὰ ἄλλα ὁ τοῦ Ῥωσικοῦ στρατεύματος φερέφωνος οὐκ εἶπε πότερον σκοποῦ τινος ἔτυχεν ἢ οὔ· οὐδὲ τὸ πρῶτον ἡ Ῥωσία τοιαῦτα ὄργανα ἐν τῷ ἑαυτῆς οὐρανῷ πετόμενα διαλαμβάνει, ἀλλὰ χθὲς ἓν ἐγγὺς τῆς Μόσχης κατέπεσεν, ὃ οὐδέποτε πρότερον ἐγεγόνει· ἐπὶ δὲ τούτῳ ὁ τῆς Ἁγίας Πετρουπόλεως ἀερολιμὴν ὥρας τινὰς κεκλεισμένος ἔκειτο ἄλλου τινὸς ἀγνώστου πετομένου ὀργάνου ἕνεκα.

καὶ δὴ καὶ χθὲς ὁ Ποῦτιν τὴν γραφὴν ὑπεγράψατο καθ' ἣν ἡ Ῥωσία τὰς συνθήκας τὰς "START III" καλουμένας (περὶ τῆς τῶν πυρηνικῶν πυραύλων ἐξετάσεως) καταλείπει, ὃ ἤδη τῇ τοῦ Φεβρουαρίου 21η ἤγγειλε ποιησόμενος.

## Λευκορωσία

**3 Μαρτίου 2022**



Ὅ τε Ἀλὲς Βιαλιάζκι, ἔνδοξος τῶν ἀνθρωπίνων δικαιωμάτων συνήγορος, καὶ δύο ἄλλοι συνήγοροι τῶν περὶ αὐτοῦ κατεγνώθησαν τήμερον ἐν τῇ πόλει Μὶνσκ δέκα ἔτη ἐν τῷ δεσμωτηρίῳ μένειν. ὁ μὲν Α. Β., ὃς τῆς ἑταιρείας "Βιάσνα" καλουμένης ἄρχει, τὸ Νόβελ τῆς Εἰρήνης Βραβεῖον τῷ 2022ῷ ἔτει ἐκτήσατο, κατὰ δὲ τοὺς δικαστὰς ὁ Α. Β. τὴν δημοσίαν εὐταξίαν εἰς κίνδυνον καθίστησιν, οὗτοι γὰρ οἱ τρεῖς τῶν ἀνθρωπίνων δικαιωμάτων συνήγοροι τῷ 2020ῷ ἔτει τῶν ἐνστάσεων μετέσχον τῷ Λουκασιένγκῳ γενομένων ἅτε ἑαυτῷ τὴν τῶν ἀρχαιρεσιῶν νίκην ἀναθέντι ἣν τῷ ὄντι οὐδέποτε ἐκτήσατο.

## Ἰνδία

**5 Μαρτίου 2023**




Γελοῖον χρῆμα ἐγένετο προχθὲς ἐν τῇ Ἰνδίᾳ· τῆς G-20 ὁμιλίας ἐν τῇ πόλει Νέῳ Δελχὶ γιγνομένης ὁ Σεργεῖ Λάβροβ, τῶν ἐξωτερικῶν τῆς Ῥωσίας ὑπουργός, περὶ τῆς τε πολιτικῆς καὶ οἰκονομικῆς καταστάσεως διαλεγόμενος καὶ πρόφασιν τοῦ ἐν τῇ Οὐκραίνᾳ πολέμου διδόναι πειρώμενος εἶπεν ὅτι οὗτος μὲν ὁ πόλεμος τῇ Ῥωσίᾳ προσετέθη, ἡ δὲ Ῥωσία πειρᾶ αὐτὸν παῦσαι· ταῦτα δὲ ἀκούσαντες, πάντες οἵτινες παρόντες ἔτυχον ἀνεκάγχασαν, ὃ τὸν Λαβρὸβ ἀπροσδόκητον καθεῖλεν.

εἰ βούλει τοῦτο θεᾶσθαι καὶ τοῦ γέλωτος ἀκούειν, τοῦτον τὸν σύνδεσμον πίεσον.

## Ἡνωμένον Βασίλειον

**8 Μαρτίου 2023**



Χθὲς ὁ τοῦ Ἡνωμένου Βασιλείου πρωθυπουργὸς Ῥίσι Σοῦνακ νέον νόμον ἐν τῇ Βουλῇ προὔθηκεν ὃς ὡς ἔοικε ταχέως πικρὰ ἁμίλλης αἰτία ἐγένετο. ὁ μὲν Σοῦνακ βούλεται τὸν τῶν ξένων ὄχλον παύειν οἳ εἰς τὴν χώραν παρανόμως εἰσιέναι πειρῶσιν, κατὰ δὲ τοῦτον τὸν νέον νόμον οἵτινες ἂν εἰς τὴν Η. Β. παρανόμως εἰσίωσι ταχέως ἐκ τῆς χώρας ἐκβληθεῖεν ἂν καὶ οὔποτε παρ' ὅλον τὸν βίον ἐξουσίαν κτήσαιντο ἂν εἰς τὸ Η. Β. αὖθις εἰσιέναι.

κατὰ δὲ τὰ ἀνθιστάμενα κόμματα οὗτος ὁ νόμος ἐναντίος ἐστὶ τοῖς διεθνέσι περὶ τῶν ἀνθρωπίνων δικαιωμάτων νόμοις.

## Γεωργία

**10 Μαρτίου 2023**



Μεγίστων ἐνστάσεων ἐν τῷ τῆς Τιφλίδα κέντρῳ δύο ἡμέρας γενομένων ἔδοξε χθὲς τοῖς τῆς Γεωργίας ἄρχουσι τὸν οὕτω καλούμενον “ Ῥωσικὸν νόμον“ ἀποθεῖσθαι· οὗτος μὲν γὰρ ὁ νόμος, καθ' οὗ ἔδει τοὺς ὀργανισμοὺς οἵτινες ἂν ἔξωθεν χρήματα δέχωνται ἐν καταλόγῳ “ξένων πρακτόρων“ ἐγγράφεσθαι, τοὺς ἄρχοντας εἴασεν ἂν τούς τε πολίτας καὶ τὰς αὐτονόμους ἐφημερίδας ἐξετάζειν καὶ τοὺς τῇ ἀρχῇ ἀνθισταμένους κολάζειν, οἱ δὲ πολῖται

φοβοῦνται μὴ οὗτος ὁ νόμος πρόφασις τοῖς ἄρχουσι γίγνηται πρὸς τὴν πολιτικὴν κώλυσιν καὶ ἡ Γεωργία τοιαύτη γίγνηται οἷα ἡ Ῥωσία.

## Ἡνωμένον Βασίλειον

**12 Μαρτίου 2023**



Ταραχὴ ἐν τῇ BBC, ὁ μὲν γὰρ Gary Lineker ἐξέδωκε νεωστὶ ἐν τῷ Twitter παραγραφήν τινα ᾗ τὸν νέον νόμον ἔψεγεν τὸν περὶ τῶν παρανόμως εἰς τὸ Ἡνωμένον Βασίλειον ἀφικομένων ξένων ὑπὸ τοῦ πρωθυπουργοῦ προτεθέντα, ἡ δὲ ἑταιρεία BBC τὴν σὺν τῷ πρῴην ποδοσφαιριστῇ συγγραφεῖσαν συνθήκην προχθὲς διέλυσεν (ὁ G. L. καθ' ἑβδομάδα προγράμματός τινος περὶ τῶν ποδοσφαιρικῶν ἀγώνων τῇ ἑβδομάδι γενομένων μετεῖχεν).

πολλοὶ μὲν λέγουσιν ὅτι ἡ ἀρχὴ τὴν ἑταιρείαν BBC ἠνάγκασε τὸν G. L. ἐκβαλεῖν, ἡ δὲ BBC ἀρνεῖται μὴ τοιαῦτα κελεύσματα δέξασθαι· νῦν δὲ πολλοὶ ἄλλοι πρῴην ποδοσφαιρισταὶ ὡς τῷ G. L. ἐπικουροῦντες τῆς BBC ἀπέχονται.

## Μαύρη Θάλαττα

**15 Μαρτίου 2023**



Χθὲς Ῥωσικὸν πολεμικὸν ἀεροσκάφος Ἀμερικανῷ δρόνι (πετομένῳ οὐδενὸς ἔνδον

κυβερβῶντος ἀεροσκάφει) συνέκρουσεν· τὰ μὲν δύο ἀεροσκάφη ὑπὲρ τῆς Μαύρης Θαλάττης ἐν τῷ διεθνεῖ ἀερίῳ χώρῳ ἐπέτετο, τῆς δὲ συγκρούσεως γενομένης τὸ δρὸν εἰς τὴν θάλατταν κατέπεσεν. κατὰ μὲν τὰς ΗΑΠ τὸ Ῥωσικὸν ἀεροσκαφος τὸ δρὸν ἐκ προνοίας κατέβαλεν, κατὰ δὲ τὴν Ῥωσίαν τὸ δρὸν πλανηθὲν κατέπεσεν. αἰσθάνεσθαι δὴ πρέποι ἂν ὅτι ἡ σύγκρουσις ἐγγὺς τῆς Κριμαίας Χερσονήσου ἐγένετο, ἧς ἡ Ῥωσία καὶ ἡ Οὐκραίνα ἀλλήλαις ἀντιποιοῦνται.

σχόλιον· τήμερον τῇ 15ῃ τοῦ Μαρτίου ἡμέρᾳ (τοῖς τοῦ Μαρτίου Εἰδοῖς) ὁ Ἰούλιος Καίσαρ ὑπὸ βουλευτῶν τινων ἀπέθανεν.

## Γαλλία

**17 Μαρτίου 2023**



217 ἄνθρωποι ὑπὸ τῶν φυλάκων καθείρχθησαν χθὲς τῇ νυκτὶ ταραχῆς ἐν τῷ Παρίσι γενομένης. ἡ ἐν τῇ Γαλλίᾳ κατάστασις πράττει ὅπως πολλοὶ πολῖται τῇ ἀρχῇ ἀντιστήσωνται, ὁ μὲν γὰρ πρόεδρος Μακρὸν βούλεται νέον νόμον ἐπιθεῖναι καθ' ὃν δεήσει τὴν ἐργαστικὴν ἡλικίαν μέχρι τῶν 64 ἐτῶν αὐξάνειν (νῦν οἱ πλεῖστοι μέχρι τῆς τῶν 62 ἐτῶν ἡλικίαν ἐργάζονται), ὃ πολλοὶ πολῖται ἀπωθοῦσιν, χθὲς δὲ ὁ Μακρόν, μέρει τινὶ τῆς πολιτείας χρώμενος, τὸν νέον νόμον ἐπέθηκε καίπερ τῆς Βουλῆς τῷ νόμῳ οὐ ψηφισαμένης, τοῦτο δὲ τὰς ἐνστάσεις ἐξέτεινεν, καὶ εἰ πολλοὶ πολῖται διαβεβαιοῦνται ὅτι αὕτη ἡ μεταβολὴ ἀναγκαία ἐστὶν ἵνα τὸ τῶν συντάξεων σύστημα μὴ καταπέσῃ.

## Βρυξέλλες

**19 Μαρτίου 2023**



Τὸ Διεθνὲς Ποίνιμον Δικαστήριον ἐκέλευσε προχθὲς τὸν τῆς Ῥωσίας πρόεδρον Βλαδίμιρ Ποῦτιν καθειργθῆναι ἅτε ἐγκλήματα πολέμου ἐξεργασάμενον. κατὰ μὲν τὸ Δ. Π. Δ. ὁ Ποῦτιν τῆς εἰς τὴν Οὐκραίναν εἰσβολῆς γενομένης παῖδας (περὶ 10,000) ἐκ ταύτης τῆς χώρας πρὸς τὴν Ῥωσίαν βίᾳ ἀνέστησεν, κατὰ δὲ τὸ Κρέμλινον ταῦτα παντελῶς ψευδῆ ἐστιν.

τὸ δὲ Πανεπιστήμιον Γέιλ τῷ μηνὶ Φεβρουαρίῳ περὶ τοῦτο ἐξέτασιν ἐξέδωκεν, ἣν ἰδεῖν ἔξεστιν εἰ τοῦτον τὸν σύνδεσμον πιέσῃς.

καὶ εἰ δῆλόν ἐστιν ὅτι οὐδεὶς εἰς τὴν Ῥωσίαν πορευθήσεται ὡς τὸν Ποῦτιν καθείρξων, τοῦτο τὸ τοῦ Δ. Π. Δ. κέλευσμα τὰ πορεύματα αὐτοῦ συντέμνει, εἰ γὰρ ὁ Ποῦτιν πρὸς χώραν τινὰ τῶν τοῖς τοῦ Δ. Π. Δ. κελεύσμασι πειθομένων πορεύοιτο, ἴσως καθειρχθείη ἄν.

## Ῥωσία

**21 Μαρτίου 2023**



Διπλῆ ἐφοδεία· ὁ μὲν τῆς Σίνης πρωθυπουργός, ὁ Σὶ Ζινπίγκ, συνῆλθε χθὲς τῷ τῆς Ῥωσίας προέδρῳ Ποῦτιν, ὁ δὲ τῆς Ἰαπωνίας πρωθυπουργός, ὁ Φοῦμιο Κισίδα, ὃς ἐν τῇ Ἰνδίᾳ πορευόμενος ἔτυχεν, ἐν νῷ ἔχει τήμερον τῷ τῆς Οὐκραίνας προέδρῳ Ζελένσκι συνελθεῖν πρὶν εἰς τὴν Ἰαπωνίαν ἐπανελθεῖν. ὁ Σὶ Ζινπὶγκ εἰς τὴν Ῥωσίαν ἀφικόμενος καὶ ἀσμένως ὑπὸ τοῦ Ποῦτιν δεχθεὶς ἴσως τῆς Ῥωσίας ἐπίκουρος ἐφάνη, καὶ εἰ πειρᾷ μὲν τούτῳ τῷ πολέμῳ τέλος θεῖναι, πολλάκις δὲ εἶπεν ὅτι νομίζει τὴν Κριμαίαν μέρος τῆς Οὐκραίνας εἶναι, ὃ ἀξιόλογόν

ἐστιν· ὅ τι ὁ τῆς Ἰαπωνίας πρωθυπουργὸς τῷ Ζελένσκι ἐρεῖ οὔπω ἴσμεν, ἡ γὰρ σύνοδος τήμερον γενήσεται.

## Γαλλία

**24 Μαρτίου 2023**




Ἡ διὰ τῆς Γαλλίας ταραχὴ εἰς τὴν ἐνάτην ἡμέραν ἀφῖκται, καὶ δὴ καὶ οὐ μόνον οὐ τελευτᾷ ἀλλὰ καὶ χείρων τε καὶ βιαιοτέρα γίγνεται· πάντες μὲν ἀκούειν ἐβούλοντο ὅ τι ὁ Μακρὸν διὰ τῆς τηλεοράσεως ἐροίη, ὁ γὰρ πρόεδρος ἐβούλετο τοῖς πολίταις τὰς τοῦ νόμου αἰτίας ἐξηγεῖσθαι ὃν νεωστὶ τὴν τῆς Βουλῆς ψῆφον φυγὼν ἐπέθηκεν· ἐν μὲν τῇ δημηγορίᾳ ὁ Μακρὸν εἶπεν ὅτι τὸν νόμον οὐ καθαιρήσοι καὶ τοῖς βίᾳ ἀνθισταμένοις οὐδαμῶς ὑπείξοι, ὅμως δὲ τοῦ προέδρου τοὺς πολίτας οὐ πείσαντος ἡ ταραχὴ χείρων ἐγένετο, ἐν δὲ πολλαῖς πόλεσι ἐμπρήσεις αὖθις ἐγένοντο χθὲς καὶ ἐν ταῖς ὁδοῖς οἱ διαδηλωταὶ τοῖς φύλαξι μάχονται· καὶ δὴ καὶ τὸ ἀπότριμμα ἐν ταῖς πόλεσι ἀθροίζεται, οἱ γὰρ ἐργασταὶ οὓς δέοι ἂν αὐτὸ ἀπολαβεῖν ἀπεργοῦσιν.

## Γαλλία - Ἡνωμένον Βασίλειον

**26 Μαρτίου 2023**



Ὁ τοῦ τῶν Ἠλυσίων Μεγάρου φερέφωνος εἶπε προχθὲς ὅτι ἡ ἐπίσκεψις ἡ τοῦ τῆς Ἀγγλίας Βασιλέως διὰ τὴν νῦν διὰ πάσης τῆς Γαλλίας γιγνομένης ταραχὴν ἀναιρεθείη. ἐξ οὗ μὲν βασιλεὺς ἐγένετο ὁ Καρόλος γ' αὕτη ἔμελλε ἡ πρώτη ἐπίσημος ἀποδημία ἔσεσθαι, αἱ δὲ δύο

χῶραι μάλιστα ταύτης τῆς ἐπισκέψεως ἐπεθύμουν, τοῦ μὲν γὰρ Βρέξιτ γενομένου ἥ τε Γαλλία καὶ ἡ Ἀγγλία οὐκ ἄγαν φιλικῶς πρὸς ἀλλήλας διέκειντο, ὁ δὲ ταύτης τῆς ἐπισκέψεως σκοπὸς ἦν ταύτην τὴν διάθεσιν διορθοῦν.

τούτων οὕτως ἐχόντων, ἡ πρώτη τοῦ τῆς Ἀγγλίας Βασιλέως ἐπίσημος ἀποδημία τῇ ἐπιγιγνομένῃ ἑβδομάδι γενήσεται, πρὸς τὴν Γερμανίαν.

## Ἰσραῆλ

**28 Μαρτίου 2023**



Εἰ νεωστὶ ταραχὴν ἔπαθον οἱ τῆς Γαλλίας πολῖται, νῦν τὴν αὐτὴν κατάστασιν ἐν τῷ Ἰσραῆλ ὁρῶμεν· τοῦ πρωθυπουργοῦ Νετανιάχου μεταβολάς τινας εἰς τὸ δικανικὸν σύστημα εἰσθεῖναι βουλομένου, αἱ μὲν ἐνστάσεις ἤρξαντο ἤδη τῇ προτεραίᾳ ἑβδομάδι, καὶ εἰ ἡσυχῇ· ὅμως δέ, τῶν ἐνστάσεων καθ' ἡμέραν αὐξανομένων, χθὲς ἡ διὰ τῆς χώρας ταραχὴ τοσαύτη τε καὶ τοιαύτη ἐγένετο ὥστε ἀναγκαῖον ἦν τὸν Βὲν Γουριὸν ἀερολιμένα κατακλεῖσαι. καὶ εἰ ὁ πρωθυπουργός, πειρώμενος τὴν ταραχὴν μειοῦν, ἤγγειλε χθὲς ὅτι τὴν τῶν μεταβολῶν εἰσήγησιν εἰς χρόνον τινὰ παύσοι, τοῦτο τὸ “εἰς χρόνον τινὰ“ τοὺς πολίτας οὐκ ἔπεισεν, ἡ δὲ ταραχὴ διαμένει.

## Ῥωσία

**31 Μαρτίου 2023**



Ἀμερικανὸς τῆς Wall Street Journal ἐφημερίδος δημοσιογράφος τις καθείρχθη χθὲς ἐν τῇ Ῥωσίᾳ, τὸ γὰρ Κρέμλινον αὐτοῦ κατασκοπείαν κατηγορεῖ· ἐν δὲ τῇ τελευταίᾳ γραφῇ ἣν ὁ Evan Gershkovich (τοῦτό ἐστι τὸ τοῦ δημοσιογράφου ὄνομα) ἐν τῇ WSJ ἐξέδωκεν περὶ τῶν τῆς Ῥωσικῆς οἰκονομίας διὰ τὸν ἐν τῇ Οὐκραίνᾳ πόλεμον δυσχερειῶν ἔγραψεν.

κατὰ μὲν τὸ Κρέμλινον οὗτος ὁ ἀνὴρ περὶ τοῦ Ῥωσικοῦ στρατεύματος λάθρᾳ ἐπυνθάνετο, κατὰ δὲ τὸν τῆς Λευκῆς Οἰκίας φερέφωνον ὁ Ποῦτιν τοῦτον τὸν ἄνδρα καθείρξας πειρᾶ τὰς ΗΑΠ πιέζειν ἵνα τῇ Οὐκραίνᾳ μὴ βοηθῶσιν.

ἐξ οὗ ὁ ἐν τῇ Οὐκραίνᾳ πόλεμος ἤρξατο, ἐν τῇ Ῥωσίᾳ τὸ τὸν πόλεμον ψέγειν ἀδίκημα ἐγένετο· παραδείγματος ἕνεκα, προχθὲς πατήρ τις δύο ἔτη κατεγνώθη διότι ἡ ἑαυτοῦ θυγάτηρ ἐν τῷ διδασκαλείῳ διάγραμμα διέγραψεν ἐν ᾧ τὸ τῆς Οὐκραίνας σημεῖον ἐξῆν ἰδεῖν (εἰ βούλει τὸ διάγραμμα θεᾶσθαι, τοῦτον τὸν σύνδεσμον πίεσον).

## ΗΑΠ

**2 Ἀπριλίου 2023**




Οἱ τῆς Νέας Ἰόρκης φύλακες, τῆς πόλεως “τῆς Μεγάλου Μήλου“ καλουμένης (τοῦτο τὸ ἐπίθετον ἐν ταῖς ἱπποδρομίαις ἔχει τὴν γένεσιν), νῦν μάλιστα ἐν προνοητικῇ στάσει κεῖνται, ὁ

γὰρ πρῴην πρόεδρος  Δόναλδ Τρᾶμπ, γραφὴν φεύγων διότι χρήματα γυναικί τινι παρασχοίη ἵνα μηδὲν περὶ τῆς ἑαυτῶν προτεραίας οἰκειότητος λέγοι, ᾔτησε μὲν τοὺς ἑαυτῷ ἐπικουροῦντας εἰς τὰς ὁδοὺς ἐπιρρίπτεσθαί τε καὶ “τὴν πατρίδα ἀναλαμβάνειν,“ εἶπε δὲ καὶ ὅτι πῦρ τε καὶ καθαίρεσις γενήσοιντο, ἀλλὰ ἐν τῷ παρόντι πάντα ἐν ἡσυχίᾳ μένει· ὅμως δὲ τῇ μὲν ἐπιγιγνομένη ἑβδομάδι δεήσει αὐτὸν εἰς τὸ δικαστήριον ἰέναι, ἴσως δὲ τότε ταραχή τις γένοιτο ἄν, διὰ δὲ τοῦτο οἱ φύλακες, φοβούμενοι μὴ τὸ αὐτὸ γένηται καὶ ἐν τῷ Καπιτολίῳ, προαιροῦνται μὴ ἡσύχως καθεύδειν ἀλλὰ παρασκευάζεσθαί τε καὶ ἐν ἑτοίμῳ εἶναι.

## Φινλανδία

**4 Ἀπριλίου 2023**



Ἡ Φινλανδία γενήσεται τήμερον ἑταῖρος τοῦ ΒΑΣΟ (ὁ ΒΑΣΟ = ὁ τοῦ Βορείου Ἀτλαντικοῦ Συμφώνου Ὀργανισμός). τῆς τε Ῥωσίας καὶ τοῦ ΒΑΣΟ ἅμιλλαν ἐχόντων, εἰς τὸ νῦν αὕτη ἡ χώρα ἀεὶ ἐκποδὼν ἵστατο, ἀλλὰ ἡ τῆς Οὐκραίνας εἰσβολὴ ἔπραξεν ὅπως εἰς τὸν ΒΑΣΟ εἰσελθεῖν αἰτήσειεν, πρὸ μὲν γὰρ τῆς εἰς τὴν Οὐκραίναν εἰσβολῆς μόνον τὸ τρίτον μέρος τῶν τῆς Φινλανδίας πολιτῶν ἐβούλετο εἰς τὸν ΒΑΣΟ εἰσελθεῖν, μετὰ δὲ τὴν εἰσβολὴν τὸ 80% μεταγνὸν ὡμολόγησεν, τῆς γὰρ Φινλανδίας καὶ τῆς Ῥωσίας κοινὸν ὅρισμα 1,340 χιλιομέτρα τὸ μῆκος ὂν ἐχόντων οἱ Φινικοὶ φοβοῦνται μὴ ἡ ἐπιγιγνομένη εἰσβολὴ πρὸς ἑαυτοὺς γένηται.

ὁ τοῦ ΒΑΣΟ φερέφωνος, ὁ Jens Stoltenberg, εἶπε χθὲς ὅτι νῦν οὐ μόνον ἡ Φινλανδία ἀλλὰ καὶ ἡ Σουηδία ἀσφαλεστέρα τε καὶ ἀκινδυνωτέρα ἔσοιτο (καὶ ἡ Σουηδία εἰς τὸν ΒΑΣΟ εἰσελθεῖν ᾔτησεν, ἀλλὰ ἡ Τουρκία τοῦτο κωλύει).

## Ἰσραῆλ

**7 Ἀπριλίου 2023**



Τὸ τοῦ Ἰσραῆλ στράτευμα ἤγγειλε χθὲς ὅτι τοῖς ἐν τῷ τε Λιβάνῳ καὶ τῇ Γάζῃ τῆς ἑταιρείας Χαμὰς στρατοπέδοις ἐπέθετο. ἡ παροῦσα πολεμικὴ κατάστασις τῇ Τετάρτῃ ἤρξατο, ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ οἱ Ἰσραηλινοὶ φύλακες εἰς τὸν Ἄλ-Ἄκσα ναὸν εἰσῆλθον, οὗτος δὲ ὁ ναὸς τυγχάνει ὁ τρίτος τοῖς Μουσουλμάνοις ἁγιώτατος τόπος ὤν, τῶν δὲ τῆς εἰσβολῆς ἀγγελμάτων ταχέως διὰ τοῦ διαδικτύου σκεδασθέντων τριάκοντα καὶ τέτταρα πύραυλα πρὸς τὸ Ἰσραῆλ ἀπὸ τῆς τε Γάζης καὶ τοῦ Λιβάνου ἀνείθησαν, ἀλλὰ τὰ μὲν πλεῖστα ἔτι ἐν τῷ ἀέρι πετομένα διεφθάρη, μόνον δὲ ἓξ εἰς τὴν γῆν ἀφίκετο. ἔπειτα δὲ ὁ μὲν τοῦ ἸΣραῆλ πρωθυπουργὸς Νετανιάχου ὑπέσχετο τῶν τὰ πύραυλα ἀνέντων δίκην λήψεσθαι, ὁ δὲ τοῦ Χαμὰς φερέφωνος διεβεβαιώσατο ὅτι αὕτη ἡ ἑταιρεία οὐδὲν πύραυλον ἀνείη.

## Ταιβάν

**10 Ἀπριλίου 2023**



Διαμένει (διαμενεῖ δὲ) ἡ ἐν τῷ τῆς Ταιβὰν πορθμῷ διάτασις, ἡ γὰρ τῆς Ταιβὰν πρόεδρος Tsai Ing-wen ἐν τῇ Καλιφορνίᾳ τῷ τῆς Ἀμερικανῆς βουλῆς προέδρῳ Kevin McCarthy εἰς λόγους ἦλθεν, ἀλλὰ ἡ Σίνα ἐκ τῆς ἀρχῆς τούτῳ τῷ συλλόγῳ ἀντεῖπεν· οὕτως δέ, τοῦ συλλόγου γενομένου, ἡ Σίνα ἤρξατο προχθὲς πολεμικὰς ἀσκήσεις ἐγγὺς τῆς Ταιβὰν ποεῖσθαι, καὶ εἰ μὴ τὸ πρῶτον τοῦτο γίγνεται, τούτῳ τῷ καιρῷ ὁ τῶν τε πολεμικῶν ἀεροσκαφῶν και νεῶν ἀριθμὸς ἃ τῶν ἀσκήσεων μετέχει τοσοῦτον ηὐξήθη ὥστε σημεῖόν τι ἐκπλήξεως εἰς τὰς ΗΑΠ ἀφίκετο, αὗται γὰρ ἀεὶ τῇ Ταιβὰν ἐπικεκουρήκασιν. τῶν δὲ ἀσκήσεων ἤδη ἀρχθεισῶν, ὁ τῆς Λευκῆς

Οἰκίας φερέφωνος τῇ Σίνῃ παρῄνεσεν ὅτι ἥτις ἂν πεῖρα γένηται τοῦ εἰς τὴν νῆσον εἰσβάλλειν πόλεμον γεννήσει.

## Ἰταλία

**12 Ἀπριλίου 2023**



Ὁ ἀριθμὸς ὁ τῶν μεταναστῶν οἳ εἰς τὴν Ἰταλίαν κατὰ θάλατταν παρανόμως ἀφικνοῦνται τοσοῦτος ἐγένετο νεωστὶ ὥστε τὸ ταύτης τῆς χώρας Ὑπουργικὸν Συμβούλιον, ἵνα αὕτη ἡ φορὰ παύηται, ἤγγειλε χθὲς τὴν ἐκτάτου ἀνάγκης κατάστασιν· αὕτη δὲ ἡ κατάστασις ἓξ μῆνας ἰσχύσει.

κατὰ δὲ ἐμπείρους τινὰς τούτῳ τῷ ἀγγέλματι πειρᾷ ἡ Ἰταλία τὴν Εὐρωπαικὴν Ἕνωσιν ἐποτρύνειν πρὸς τὸ περὶ τοῦτο τὸ πρόβλημα περιγιγνώσκειν, ἡ γὰρ Ἰταλία ἤδη πάλαι τούτῳ πρόσκειται· ἐν δὲ τῷ μεσημβρινῷ τῆς χώρας μέρει τὸ πρόβλημα μεῖζον ἐστίν, οἱ μὲν γὰρ μετανάσται, ἐπισφαλέσι ναυσὶ χρώμενοι, ὡς ἐπὶ τὸ πολὺ εἰς τοὺς τῆς Σικελίας καὶ τῆς Λαμπεδούσης λιμένας ἀφικνοῦνται, τὰ δὲ τούτων τῶν νήσων ὑποδοχῆς κέντρα παντελῶς πλήρη ἐστιν.

## Ἰέμεν

**15 Ἀπριλίου 2023**



Τοῦ Ἰρᾶν καὶ τῆς Σαυδικῆς Ἀραβίας διπλωματικὴν πρὸς ἀλλήλους κοινωνίαν αὖθις ἔχειν ὑπογραψαμένων, ἡ τῷ Ἰέμεν εἰρήνη φαίνεται ἐγγυτέρω οὖσα, αὗται γὰρ αἱ δύο χῶραι ἐν τῷ Ἰέμεν πλάγιον πόλεμον τῷ 2015ῳ ἔτει ἤρξαντο ὃς ἔτι καὶ νῦν μένει· χθὲς οὖν οἵ τε ἄρχοντες καὶ οἱ στασιῶται Οὑτίες ἤρξαντο αἰχμαλώτους ἀνταλλάττειν (ἐν τῇ φωτογραφίᾳ θεᾶσθαι δυνάμεθα αἰχμαλώτους τινάς, νεωστὶ ἐλευθερωθέντας, εἰς τὸν ἀερολιμένα ἀφικομένους).

ἐν τούτῳ τῷ πολέμῳ ὃς ὀκτὼ ἔτη τὴν χώραν διέφθαρκε καὶ μυρίους τῶν πολιτῶν ἠνάγκασε τοὺς ἑαυτῶν οἴκους καταλιπεῖν ἡ μὲν Σαυδικὴ Ἀραβία τῇ ἀρχῇ ἐπικουρεῖ, τὸ δὲ Ἰρᾶν τοῖς στασιώταις Οὑτίσι (οὗτοι δὲ τὴν πρωτεύουσαν πόλιν Σανὰ κατέχουσιν).

## Σουδάν

**16 Ἀπριλίου 2023**



Τὸ Σουδὰν χώρα ἐστὶ δύο στρατεύματα ἔχουσα· τὸ τοῦ Σουδὰν ἔννομον στράτευμα καὶ τὸ στράτευμα “Δύναμις Ταχείας Βοηθείας“ καλούμενον (RSF ἀγγλιστί), ἃ αὖθις πρὸς ἄλληλα μαχόμενα ἤρξατο χθές, τὸ δὲ τοῦ οἰκείου πολέμου φάσμα αὖθις ἐπιφαίνεσθαι δοκεῖ. καὶ εἰ οὐδεὶς οἶδεν οἵτινες πρῶτοι ἐπυροβολήσαντο χθές, ὁ στρατηγὸς al-Burhan, ὃς τοῦ νομίμου στρατεύματος ἄρχει, καὶ ὁ στρατηγὸς Dagalo, ἐνίοτε "Hemedti" καλούμενος (δυνάμεθα αὐτὸν ἐν τῇ φωτογραφίᾳ ἰδεῖν), ὃς τῆς RSF ἄρχει, ἀλλήλων κατηγοροῦσιν, ἡ δὲ μάχη οὕτω βίαιος ἐγένετο ὥστε μιᾶς ἡμέρας 56 μὲν ἄνθρωποι ἀπέθανον, 595 δὲ ἄλλοι ἐτρώθησαν.

ἄδηλον δέ ἐστιν οἵτινες τὸν ἀερολιμένα κατέχουσιν, ἀλλὰ τὰ τελευταῖα νέα λέγει ὅτι τὸ SRF τὴν πρωτεύουσαν Χαρτοῦμ κατέλαβεν.

## Ῥωσία

**18 Ἀπριλίου 2023**



Ὁ Ῥώσος ἀντίπαλος Vladimir Kara-Murza, ὃς πολλάκις τῷ Ποῦτιν ἀντέστη, κατεγνώθη χθὲς 25 ἔτη ἐν τῷ δεσμωτηρίῳ μένειν, κατὰ γὰρ τοὺς δικαστὰς ὁ VKM προδότης μέν ἐστιν, ψευδῆ δὲ ἀγγέλματα περὶ τοῦ Ῥωσικοῦ στρατεύματος ἐσκέδασεν, ἑταῖρος δέ ἐστι ἐπικινδύνου τινὸς ἑταιρείας (ὃ ἐν ταῖς ἑσπερίαις χώραις “οὐ κυβερνητικὸς ὀργανισμὸς“ καλεῖται).

ὁ VKM, τετταράκοντα καὶ ἓν ἔτη γεγονώς, οὐ μόνον Ῥωσικὸς πολίτης ἐστὶν ἀλλὰ καὶ Βρετανικός, νεανίας γὰρ ὢν εἰς τὸ Ἡνωμένον Βασίλειον ἀνέστη, ἐκεὶ δὲ ἐν τῷ Cambridge Πανεπιστημίῳ ἔμαθε καὶ Βρετανικὸς πολίτης ἐγένετο, ἀλλὰ ἤδη δημοσιογράφος γενόμενος καὶ τὸν Ποῦτιν μεμφόμενος δὶς εἰς ὀλίγον ἀφίκετο ἀποθανεῖν, δὶς γὰρ ἐπείρασαν αὐτὸν φαρμακεύειν· ἔπειτα δὲ εἰς μὲν τὴν Ῥωσίαν ἐπανῆλθεν, τῆς δὲ εἰς τὴν Οὐκραίναν εἰσβολῆς ἀρξαμένης οἱ πρὸς τὸν Ποῦτιν ψόγοι ηὔξησαν, ἀλλὰ ὑπὸ τῶν φίλων ἀποδημεῖν παραινεθεὶς οὐκ ἐθέλησεν, καίπερ εἰδὼς αὐτὸς ἐν μεγάλῳ κινδύνῳ ὤν.

## Οὐκραίνα

**21 Ἀπριλίου 2023**



Χθὲς ὁ τοῦ Βορείου Ἀτλαντικοῦ Συμφώνου Ὀργανισμοῦ (ΒΑΣΟ) φερέφωνος, ὁ Jens Stoltenberg, ἀπροσδοκήτως εἰς τὴν Οὐκραίναν ἐπορεύθη· ἡ δὲ ἀπροσδόκητος πορεία ἔτυχε θαῦμα γιγνομένη πᾶσιν, ὁ γὰρ ΒΑΣΟ τῆς ἀσφαλείας ἕνεκα τὴν πορείαν κρυφηδὸν παρεσκεύασεν· ἐκεῖ δὲ ἐπιφαινόμενος ὁ J. S. βούλεται πᾶσι τὴν τοῦ ΒΑΣΟ πρὸς τὴν

Οὐκραίναν ἐπικουρίαν δεικνύναι, καὶ δὴ καὶ λέγει μὲν ὅτι αὕτη ἡ χώρα ἑταῖρος τοῦ ΒΑΣΟ γενήσεται, ὅμως δὲ οὐκ εἶπεν ὁπότε τοῦτο γενήσοιτο, ἔνιοι γὰρ τῶν τοῦ ΒΑΣΟ ἑταίρων διαβεβαιοῦνται ὅτι τοῦ πολέμου ἔτι διαμένοντος οὐκ ἔξεστι τὴν Οὐκραίναν εἰς τὸν ὀργανισμὸν δέχεσθαι.

κατὰ δὲ τὸ εἰκὸς ὁ τῆς Οὐκραίνας πρόεδρος τῆς αὐτῆς γνώμης καὶ τὸ πρότερον ἔχεται, ὅτι τοῦτο δέοι ἂν ὡς τάχιστα γενέσθαι· τῷ μηνὶ Ἰουλίου ὁ ΒΑΣΟ σύνοδον ποιήσεται ἐν τῇ Λιτουανίᾳ, ὁ δὲ Zelenski ἐλπίζει ἐν ἐκείνῃ τῇ συνόδῳ τὴν παράκλησιν γενήσεσθαι.

## Πορτογαλία

**23 Ἀπριλίου 2023**



Χθὲς ἐν τῇ Λισαβόνᾳ ὅ τε τῆς Βραζιλίας πρόεδρος Λοῦλα δὰ Σίλβα καὶ ὁ τῆς Πορτογαλίας πρόεδρος Ἀντόνιος Κόστα ἄγγελμα ὑπεγράψαντο ἐν ᾧ τὴν ὑπὸ τῆς Ῥωσίας εἰς τὴν Οὐκραίναν εἰσβολὴν ψέγουσιν.

αὕτη δὲ ἡ ἀπόφασις ἐν ταραχώδει καταστάσει ἥκει, νεωστὶ μὲν γὰρ ὁ Λοῦλα εἶπεν ὅτι δέοι τὰς ΗΑΠ τὸν πόλεμον μὴ μακρύνειν τῇ Οὐκραίνᾳ βοηθούσας, τοῦτο δὲ τὸ αὐτό ἐστι καὶ λέγειν ὅτι βούλεται τὴν μὲν Ῥωσίαν νικᾶν, τὴν δὲ Οὐκραίναν ἡττᾶσθαι, καὶ δὴ καὶ τὸν Σεργεῖ Λάβροβ, τὸν τῆς Ῥωσίας τῶν ἐξωτερικῶν ὑπουργόν, φιλοφρόνως ἐδέξατο ὥσπερ ἂν εἰ σύμμαχος εἴη. ταραχῆς οὖν περὶ τούτων τῶν ἀποφάσεων γενομένης ὁ Λοῦλα πειρᾷ νῦν ἀντικαταλλάττεσθαι τὸ ἐναντίον λέγων.

## Σουδάν

**25 Ἀπριλίου 2023**



Τῶν ἐν τῷ Σουδὰν ἀνοχῶν λυθεισῶν (τῷ ὄντι οὐδέτερον στράτευμα τὰς ἀνοχὰς ἐφύλαττεν), ἡ ἐκεῖ κατάστασις παροξύνεται. ἐν μὲν τῷ Σουδὰν χίλιοι καὶ πεντακόσιοι ξένοι πολῖται τυγχάνουσιν ἐνοικοῦντες (οἱ πλεῖστοι Εὐρωπαῖοι τε καὶ Σίνοι καὶ Ἀμερικανοί εἰσιν), τούτων δὲ ἤδη χίλιοι καὶ ἑκατὸν κομιδῇ ὑπὸ τῆς Εὐρωπαίας Ἑνώσεως καὶ τῆς Σίνας καὶ τῶν ΗΑΠ παρασκευασθείσῃ ἐκ τῆς χώρας ἐκομίσθησαν·

κατὰ δὲ τὸν ὀργανισμὸν “ Ἰατροὶ ἄνευ ὁρίων “ οἱ μὲν τοῦ Σουδὰν πολῖται δέονται ὡς τάχιστα σίτου τε καὶ ὕδατος καὶ φαρμάκων, τὰ δὲ νοσοκομεῖα ὑπερπλήρη μέν ἐστιν, ἠλεκτρικὴν δὲ δύναμιν οὐκ ἔχει· καὶ δὴ καὶ τοῦ πολέμου ἐν ταῖς ὁδοῖς διὰ τῆς πόλεως Χαρτοῦμ πανταχοῦ γιγνομένου οἱ ἰατροὶ οἳ πρὸς τὰ νοσοκομεῖα ἰέναι πειρῶσιν ἀφίκεσθαι οὐ δύνανται.

## Σίνα

**30 Ἀπριλίου 2023**



Οὔτε οἱ ἄνθρωποι οὔτε τὰ ζῷα ἀπὸ τῆς πολιτικῆς ἁμίλλης ἀποφυγεῖν δύνανται, ἡ γὰρ Πάνδα ἄρκτος Ya Ya καλουμένη σύμβολον ἄκουσα γεγένηται τῆς πρὸς ἀλλήλων ἁμίλλης τῇ τε Σίνῃ καὶ ταῖς ΗΑΠ.

ἥδε δέ ἐστιν ἡ ἱστορία· ἥ τε Πάνδα θῆλυς ἄρκτος Ya Ya καὶ ὁ Πάνδα ἄρσην ἄρκτος Le Le, ἐν

τῇ Σίνῃ γενόμενοι, τῷ 2003ῳ ἔτει πρὸς τὴν Ἀμερίκην ἐπέμφθησαν, αὕτη γὰρ ἡ πέμψις μέρος ἦν τοῦ τότε τῆς συνεργασίας προγράμματος· ὅμως δὲ τοῦ ἄρσενος τῷ μηνὶ Φεβρουαρίῳ ἀποθανόντος ἡ μὲν Σίνα ἐμπείρους τινὰς ἔπεμψεν ἵνα τῆς τοῦ θανάτου αἰτίας αἰσθάνοιντο, πολλοὶ δὲ Σίνοι πολῖται ᾔτουν τὴν τῆς Ya Ya ἐπάνοδον· τέλος δὲ προχθὲς εἰς τὸν τοῦ Πεκίνου ἀερολιμένα ἀφικομένη ἡ ἄρκτος ὥσπερ ἂν εἴη ἥρως ἐδέχθη, ἴσως βαμβοῦ ἐσθίειν βουλομένη μᾶλλον ἢ περὶ τῆς πολιτικῆς καταστάσεως λόγους ποιεῖσθαι.

## Νοτία Ἀφρική

**2 Μαίου 2023**



Φερέφωνός τις τῆς Νοτίας Ἀφρικῆς εἶπε τήμερον ὅτι ἐὰν ὁ Ποῦτιν τῇ τῶν BRICS συνόδῳ παρῇ ἐν ἐκείνῃ τῇ χώρᾳ τῷ ἐπιγιγνομένῳ Αὐγούστῳ γενησομένῃ καθειρχθήσεται.

τὸ τῆς Νοτίας Ἀφρικῆς σχῆμα ἀμφίβολόν ἐστιν, τὴν μὲν γὰρ εἰς τὴν Οὐκραίναν εἰσβολὴν οὐκ ἔψεξεν, τῷ δὲ Φεβρουαρίῳ ναυτικὰς ἀσκήσεις ἐποίησεν ἅμα τῇ Ῥωσίᾳ, ὃ πολλαῖς ἑσπερίαις χώραις οὐκ ἤρεσεν.

δῆλον δέ ἐστιν ὅτι εἰ ὁ Ποῦτιν εἰς ἄλλην χώραν πορεύοιτο τὰ τοῦ Διεζνοῦς Κολαστικοῦ Δικαστηρίου κελεύσματα δεχομένην ταχέως καθειρχθείη ἄν, ἀλλὰ ὅ τι ἐν τῇ Νοτίᾳ Ἀφρικῇ γένοιτο ἄν, τοῦ Ποῦτιν ἐκεῖσε πορευθέντος καὶ πᾶσιν δεικνύναι ὅτι ἄνω καὶ κάτω πορεύεσθαι δύναται βουλομένου, ἀσαφές ἐστιν.

## Περοῦ

**5 Μαίου 2023**



Νεωστὶ ἀλλόκοτος συνήθεια ἐπεφάνη ἐν τῷ Περοῦ, ἐν τῷ ἀρχαιολογικῷ τόπῳ Machu Picchu καλουμένῳ· πολλοῖς περιηγηταῖς ἀρέσκει φωτογραφίας τε καὶ ταινίας ἑαυτῶν ποιεῖσθαι... γυμνῶν ὄντων ἵνα ἔπειτα εἰς τὸ διαδίκτυον εἰσθῶσιν· παραδείγματος ἕνεκα, προχθὲς τέτταρες περιηγηταὶ ὑπὸ τῶν φυλάκων καθείρχθησαν τοιοῦτο ποιοῦντες, δύο μὲν Αὐστραλιανοί, δύο δὲ Καναδοί, τοσούτοις ἱματίοις χρώμενοι ὅσοις τῇ ἡμέρᾳ ᾗ ἐτέχθησαν.

ἀλλὰ τοῦτο οὐδαμῶς τὸ πρῶτον νῦν γίγνεται, ἤδη γὰρ τὸ πρότερον τοῖς τελευταίοις μησὶν ἐγένετο· ὅμως δὲ οὐδεὶς γιγνώσκει τὴν τοιαύτης συνηθείας γένεσιν ἢ τὴν αἰτίαν, διὰ ὅ τι ἐκεῖ ἐν τῷ Machu Picchu οὐδὲ ἄλλοθι.

## Ἡνωμένον Βασίλειον

**7 Μαίου 2023**



Ὁ Βασιλεὺς Κάρολος Γ' χθὲς ἐν τῷ Λονδίνῳ ἐστεφανώθη, ἡ δὲ Καμίλα Πάρκερ Βασίλεια ἐγένετο· ἡ δὲ ἐπίσημος τελετὴ ἐν τῷ Οὐέστμινστερ ἱερῷ ἐγένετο, πολλῶν διεθνῶν ἀρχόντων παρόντων.

καὶ εἰ τῷ ὄντι ὁ Κάρολος Γ' ἤδη βασιλεὺς τοῦ Ἡνωμένου Βασιλείου ἦν ἐξ οὗ ἡ Βασίλεια Ἐλισάβετ Β' ἀπέθανεν ἔδει τὴν κατὰ τὰ νομιζόμενα τελετὴν πράττειν, ὃ χθὲς ἐπράχθη· ἔπειτα

δὲ στεφανωθέντες ὅ τε Κάρολος Γ' καὶ ἡ Καμίλα πρὸς μὲν τὰ τοῦ Οὐίνδσορ βασίλεια ἐπανῆλθον, ἐκεῖσε δὲ ἀφικόμενοι ἐπὶ τὸν δρύφακτον ἐξῆλθον ἵνα τοὺς ἐκεῖ συνελθόντας ἀσπάζοιντο· παρὰ δὲ τὰς διὰ τοῦ Λονδίνου ὁδοὺς πολλοὶ πολῖται ἠθροίσθησαν ὡς ὑπὲρ τοῦ τε βασιλέως καὶ τῆς βασιλείας ἐπευφημήσοντες.

## Πακιστάν

**10 Μαίου 2023**



Ὁ πρότερος τοῦ Πακιστᾶν πρωθυπουργός, ὁ Ἴμραν Κάν, ὃς νῦν τυγχάνει ὢν ὁ τῶν τοῖς ἐν τέλει ἀνθισταμένων ἄρχων (τῷ γὰρ Ἀπριλίῳ ἐκ τῆς ἀρχῆς ἐξεβλήθη), καθείρχθη χθὲς ὡς πολλάκις δωροδοκίαν δεξάμενος. ἡ κάθειρξις βιαία ἐγένετο, ὁ μὲν γὰρ Κάν, ἔτι χθὲς ἐλεύθερος πολίτης ὤν, πρὸς τὸ δικαστήριον προσέβαινεν ἄλλου τινὸς χρήματος ἕνεκα, τριάκοντα δὲ στρατιῶται τῆς οὕτω καλουμένης Rangers τάξεως αὐτόν τε καὶ τοὺς δορυφόρους αὐτοῦ ἐνεκυκλώσαντο ὡς αὐτὸν καθέρξοντες, ἅμιλλα δὲ ἐγένετο τοῖς τε δορυφόροις καὶ τοῖς τὸν Κὰν καθειργνύναι πειρωμένοις· τέλος δὲ καθείρχθη, τοῖς γὰρ δορυφόροις ὅπλα οὐκ ἦν.

τῆς δὲ ἑσπέρας πολλοὶ τῶν τῷ Κὰν ἐπικουρούντων διὰ τῆς Ἰσλαμαβὰδ ταραχὴν ἐποίησαν τῇ καθείρξει ἐνιστάμενοι.

## Ἡνωμένον Βασίλειον

**12 Μαίου 2023**



Ὁ τῆς Οὐκραίνας πρόεδρος Ζελένσκι οὐ δυνήσεται ἐν τῷ μουσικῷ ἀγῶνι Eurovision ἀγορεύειν αὔριον ἐν τῇ πόλει Λίβερπουλ γενησομένῳ· ἔδει δὴ τὴν Οὐκραίναν, τῷ προτέρῳ ἔτει τὸ πρῶτον ἆθλον κτησαμένην, ἐν τῇ Κίεβ τὸν ἐπιγιγνόμενον ἀγῶνα παρασκευάζειν, ἀλλὰ οὐκ ἐξὸν ἐκεῖ διὰ τὸν πόλεμον οὐδὲν ποιεῖν ἡ Οὐκραίνα τῇ Ἀγγλίᾳ (τὸ δεύτερον ἆθλος κτησαμένῃ) συμπαρασκευάζει τὸν τούτῳ τῷ ἔτει ἀγῶνα ἐν τῇ Λίβερπουλ.

ὁ Ζελένσκι, πρόεδρος ὢν τῆς συμπαρασκευαζούσης χώρας, ᾔτησεν ἀγορεύειν δύνασθαι τοῖς θεαταῖς, ἀλλὰ οἱ τοῦ ἀγῶνος ἄρχοντες ἤγγειλαν χθὲς ὅτι, καὶ εἰ τῷ Ζελένσκι μάλιστα συμπαθοῦσιν, τοῦτο μουσικὸν πρόγραμμά ἐστιν εἰς τὴν χαιρηδόνα ἀκριβεῖς νόμους ἐκ τῆς ἀρχῆς ἔχον οἳ τοὺς πολιτικοὺς λόγους ἀπαγορεύουσιν.

## Τουρκία

**15 Μαίου 2023**



Ἀρχαιρεσίαι ἐγένοντο χθὲς ἐν τῇ Τουρκίᾳ, ἐν αἷς ὁ μὲν νῦν πρόεδρος Ἐρδογὰν τὸ 49% τῶν ψήφων ἐκτήσατο, ὁ δὲ ἀνθιστάμενος Κέμαλ Κιρισδάλογλου τὸ 45%. οὕτως δέ, οὐδετέρου τῶν εἰς ἀρχὴν παραγγελλόντων πλεῖον τοῦ τῶν ψήφων ἡμίσεος κτησαμένου, δεήσει αὖθις τοὺς πολίτας πρὸς τοὺς κάδους τῇ 28ῃ τοῦ Μαίου ἐπανελθεῖν.

ἡ τῆς τῶν ὑπὲρ τοῦ Ἐρδογὰν ψήφων μειώσεως αἰτία (ἐν ταῖς προτέραις ἀρχαιρεσίαις ὁ

Ἐρδογὰν πλεῖον τοῦ ἡμίσεος ἐκτήσατο) διπλῆ ἐστίν· τὸ μὲν κεφαλαῖον τῆς Τουρκίας πρόβλημα ἡ τῶν τιμημάτων αὔξησίς ἐστιν, ὡς ἐπὶ τὸ πολὺ "πληθωρισμὸς" καλουμένη, ἣ νεωστὶ εἰς τὸ 85% ἀφίκετο, πολλοὶ δὲ πολῖται καὶ ψέγουσι τὸν Ἐρδογὰν ὅπως βραδέως ἔπραξεν τῶν σεισμῶν τῷ Φεβρουαρίῳ γενομένων.

## Ἰσλανδία

**18 Μαίου 2023**




Τὸ τῆς Εὐρώπης Συμβούλιον, νεωστὶ ἐν τῇ τῆς Ἰσλανδίας πρωτευούσῃ Ῥέικιαβικ συνελθόν, ὡμολογήσατο κατάλογον γράφειν τῶν βλαβῶν ὧντινων ἂν ἡ Ῥωσία εἰς τὴν Οὐκραίναν εἰσβάλλουσα αἰτία τυγχάνῃ οὖσα.

τῶν δὲ τετταράκοντα καὶ ἓξ τοῦ Συμβουλίου ἑταίρων, τετταράκοντα τὰς συνθήκας ὑπεγράψαντο, καὶ δὴ ὑπεγράψαντο καὶ αἱ ΗΑΠ καὶ τὸ Καναδὰ καὶ ἡ Ἰαπωνία, τρεῖς χῶραι αἳ ὡς θεωροὶ τῇ συνόδῳ παρῆσαν ἅτε οὐκ Εὐρωπαῖαι χῶραι οὖσαι.

ἡ Ἰσλανδία προεδρεύει νῦν τοῦ τῆς Εὐρώπης Συμβουλίου, ἡ δὲ ἐπιγιγνομένη προεδρεύουσα χώρα ἡ Λετονία ἔσται.

## Ἰαπωνία

**20 Μαίου 2023**




Ἄρχεται τήμερον ἡ δευτέρα ἡμέρα τῆς τῶν Γ-7 συνόδου ἐν τῇ Ἰαπωίᾳ, οὐδὲ αἱ Γ-7 χῶραι μόναι παρέσονται (αἱ ΗΑΠ καὶ τὸ Καναδᾶ καὶ τὸ Ἡνωμένον Βασίλειον καὶ ἡ Γαλλία καὶ ἡ Ἰταλία καὶ ἡ Γερμανία καὶ ἡ Ἰαπωνία) ἀλλὰ καὶ ἄλλαι χῶραι ὡς παρακληθεῖσαι.

χθὲς μὲν περὶ τοῦ ἐν τῇ Οὐκραίνᾳ πολέμου αἱ Γ-7 συνεβουλεύσαντο νέα κολάσματα τῇ Ῥωσίᾳ ἐπιθεῖναι, τοῦ σκοποῦ τὴν Ῥωσικὴν οἰκονομίαν ἀποπνίγειν ὄντος, κατὰ δὲ τὸ πρόγραμμα τὸ κεφαλαιότατον τῆς τήμερον ὁμιλίας χρῆμα δέοι ἂν εἶναι ἡ ἐμπορικὴ τῆς Σίνης δύναμις ἐν τῇ οἰκουμένῃ· ὅμως δὲ δεήσει τὸ πρόγραμμα μεταβαλεῖν, ὁ γὰρ τῆς Οὐκραίνας πρόεδρος Ζελένσκι αὐτὸς παρέσται (χθὲς γὰρ ἐλέγετο ὅτι τηλεδιασκέψει χρώμενος παρέσοιτο).

## Ἑλλάς

**22 Μαΐου 2023**



Ἀρχαιρεσιῶν χθὲς ἐν τῇ Ἑλλάδι γενομένων, τὸ μὲν κόμμα Νέα Δημοκρατία (νῦν ἐν τέλει) ἐνίκησεν, ἐκτήσατο γὰρ τὸ 40% τῶν ψήφων, τὸ δὲ κόμμα Συρίζα τὸ 20% ἐκτήσατο· τούτων δὲ οὕτως ἐχόντων, ἡ μὲν Νέα Δημοκρατία, τὸ τοῦ νῦν πρωθυπουργοῦ Μητσοτάκης (ἐν τῇ φωτογραφίᾳ) κόμμα, κτήσαιτο ἂν ἑκατὸν τετταράκοντα καὶ πέντε βουλευτὰς (ἡ Ἑλληνικὴ Βουλὴ ἔχει τριακοσίους βουλευτάς), ἡ δὲ Συρίζα ἑβδομήκοντα.

ἡ τῆς Ἑλλάδος οἰκονομία τὸ πέρυσι περὶ τοῦ 6% ηὔξησεν, αὕτη δὲ δήλη ἐστὶ οὖσα ἡ κεφαλαία τῆς τοῦ Μητσοτάκης νίκης αἰτία.

ὅμως δὲ λέγεται καὶ ὅτι ἴσως δεήσει τοῦ θέρους αὖθις ἀρχαιρεσίας ποιεῖσθαι, ἡ γὰρ Νέα Δημοκρατία καίπερ σαφῶς νικήσασα πλεῖον τοῦ τῶν ψήφων ἡμίσεος οὐκ ἐκτήσατο, ἀλλὰ τοῦτο ἐκ τῶν συνθηκῶν ἐξαρτᾶται ἅστινας ἂν τα κόμματα ἀλλήλοις ποιῶσιν.

## Ἑλβετία

**25 Μαίου 2023**



Ἡ Τίνα Τέρνερ, καλουμένη “ἡ τοῦ ῥὸκ 'ν' ῥὸλ βασίλεια,“ ἀπέθανε χθὲς ἐν τῇ Ἑλβετίᾳ ὀγδοήκοντα καὶ τρία ἔτη γεγονυῖα. τὸ δὴ ἀληθὲς τῆς Τ. Τ. ὄνομα ἦν Anna Mae Bullock.

αὕτη ἡ ᾠδὸς τοῦ ἐπιτηδεύματος τῷ ἑαυτῆς ἀνδρὶ Αἶκ Τέρνερ συνᾴδουσα ἤρξατο, ἀλλὰ τῷ 1978ῳ ἔτει τὸν ἄνδρα κατέλιπεν ἅτε βίαιον προσφερόμενον, περὶ οὗ πολλὰ ἐξηγεῖται ἐν τῇ ἑαυτῆς βίβλῳ My Love Story, τῷ 2018ῳ ἔτει ἐκδοθείσῃ, μόνη δὲ ᾄδουσα εἰς τὴν ἀριστείαν ἀφίκετο ᾗ αὐτὴν ἔνδοξον ἐποίησεν· ἔπειτα δὲ τῷ Γερμανῷ Erwin Bach γημαμένη εἰς τὴν Ἑλβετίαν μετὰ αὐτοῦ μετῴκησεν, ἐκεῖ δὲ τὴν μὲν τῆς Ἑλβετίας πολιτείαν ἐκτήσατο, τὴν δὲ τῶν ΗΑΠ πολιτείαν ἀπέλιπεν.

ἡ Τ. Τ. ὀκτὼ Grammy ἆθλα ἐκτήσατο.

## Λευκορωσία

**27 Μαίου 2023**



Ἡ Λευκορωσία ἤρξατο χθὲς Ῥωσικὰ πυρηνικὰ πύραυλα διὰ τῆς χώρας σκεδαννυμένη· οἱ τῆς ἀμύνης ὑπουργοὶ τῆς τε Ῥωσίας καὶ τῆς Λευκορωσίας (ἐν τῇ φωτογραφίᾳ), ἐν τῇ πρωτευούσῃ Μὶνσκ συνελθόντες, ὡμολογήσαντο τοῦτο τὸ νόημα, ὃ τῷ Μαρτίῳ ὑπεγράφη, ὡς τάχιστα ἐπείγειν.

περὶ δὲ τοῦ τῆς Λευκορωσίας προέδρου Λουκασιέγκο, λέγεται μὲν ὅτι κακῶς ἔχει, πολλάκις γὰρ νοσεῖ, κατὰ δὲ τοὺς ἀνθισταμένους τὸ Κρεμλίνο ἤδη διέγνωκεν ὅστις ὁ διάδοχος γενήσεται· ἡ Ναταλία Κοζιάνοβα, ἣ νῦν τῆς Βουλῆς προεδρεύει.

## Κόσοβο

**30 Μαίου 2023**




Ταραχῆς γενομένης, πολλοὶ ἐτρώθησαν χθὲς ἐν τῷ τοῦ Κοσόβου δήμῳ Ζβέκαν· νεωστὶ μὲν ἀρχαιρεσίαι ἐγένοντο ἐν τῷ Κοσόβῳ ἵνα νέους δημάρχους ἑκάστῃ πόλει τε καὶ κώμῃ αἱροῖντο, ἐν δὲ τούτῳ τῷ δήμῳ Ζβέκαν οἱ πλεῖστοι τῶν οἰκούντων τυγχάνουσι Σέρβιοι ὄντες, ἀλλὰ ἐπειδὴ οἱ Σέρβιοι αὐτοὶ ἠρνήθησαν μὴ ψηφίζεσθαι Ἀλβανοὶ δήμαρχοι ᾑρέθησαν, ὃ οἱ Σέρβιοι νῦν οὐ δέχονται, χθὲς δὲ ἐπείρασαν κωλύειν τοὺς νέους δημάρχους εἰς τὰ δημαρχεῖα εἰσελθεῖν· τούτων οὖν οὕτως ἐχόντων, ταραχὴ ἐγένετο καὶ οὐ μόνον πολῖται ἀλλὰ καὶ ἔνιοι τοῦ ΒΑΣΟ στρατιῶται (ὁ γὰρ ΒΑΣΟ στρατιώτας ἐν ταύτῃ τῇ χώρᾳ ἀποτίθησι τὴν εἰρήνην φυλάττοντας) ἐτρώθησαν.

## Σίνα

**1 Ἰουνίου 2023**



Προχθὲς οἱ τῆς τῶν Ἐπιστημῶν Ἀκαδημίας τῆς Σίνης γεωλόγοι νέον βούλευμα ἀπεδέξαντο ὃ ἤδη πάλαι ἐν νῷ εἶχον· φρέαρ ὀρύττειν ἕνδεκα χιλιόμετρα τὸ βάθος ἵνα τὸ τῆς γῆς κέντρον διερευνῶσιν. τοῦτο τὸ φρέαρ ἐν τῇ αὐτονόμῳ ἐπαρχίᾳ Xinjiang, ἐν τῇ Taklimakan ἐρημίᾳ, ὀρυχθήσεται· εἰδέναι δὲ χρὴ ὅτι ἡ μὲν τῆς γῆς θερμότης αὐξάνεται 25-30 βαθμοὺς τῷ καταβαίνοντι κατὰ χιλιόμετρον, διὰ δὲ τοῦτο οὐκ ἔξεσται τοῖς ἀνθρώποις αὐτοῖς τοσοῦτο βάθος καταβαίνειν, μόνον αἱ μηχαναὶ δυνήσονται τοιαύτῃ θερμότητι ἀνθίστασθαι.

## ΗΑΠ

**4 Ἰουνίου 2023**



Θαυμαστὴ κατάστασις ἐγένετο χθὲς ἐν ταῖς ΗΑΠ, ἐν γὰρ τῷ Davis νομῷ τῆς Utah ἐπαρχίας ἑταιρεία τις γονέων διεπράξατο ὅπως οἱ ἐκείνου τοῦ νομοῦ ἄρχοντες ἐξαιροῖεν τὰ Ἅγια Βιβλία ἐκ τῶν τε βιβλιοθηκῶν καὶ ὀκτὼ διδασκαλείων. ἡ δὲ αἰτία; κατὰ ταύτην τὴν ἑταιρείαν τὰ Ἅγια Βιβλία... πορνογραφικὴ βίβλος ἐστίν. αὕτη δὲ ἡ ἑταιρεία, ἣ ἤδη διεπράξατο ὅπως ἐκ τῶν τε ἐκεῖ βιβλιοθηκῶν καὶ τούτων τῶν ὀκτὼ διδασκαλείων ἄλλας πεντήκοντα βίβλους ἐξαιροῖεν, ὧν αἱ πλεῖσται περὶ τῆς φιλομοφυλίας , λέγει νῦν ὅτι τὰ Ἅγια Βιβλία πολλῷ ἀπρεπέστερά ἐστι τῶν ἤδη ἐξαιρεθεισῶν βίβλων.

εἰ δὲ βούλει πλείονα περὶ τούτου ἀγγλιστὶ ἀναγιγνώσκειν, τοῦτον τὸν σύνδεσμον πίεσον.

## Οὐκραίνα

**7 Ἰουνίου 2023**



Χθὲς ἐν τῇ Οὐκραίνᾳ τὸ τοῦ Χερσὸν φράγμα, ἐν τῷ ποταμῷ Δνιέπερ κείμενον, ἐξερρήχθη, τὸ δὲ ὕδωρ πάντα κατέκλυσεν ὅσοις καταρροῦν ἐντυγχάνοι· ἀγρούς τε καὶ οἰκίας καὶ κλήρους κτλ, ἐδέησε οὖν μυρίους ἀνθρώπων ἀποφεύγοντας πάντα τὰ κτήματα καταλιπεῖν· ἐν δὲ τῇ φωτογραφίᾳ δυνάμεθα τὸ ὕδωρ ἐκροῦν ἰδεῖν.

νῦν δὲ ἡ Οὐκραίνα καὶ ἡ Ῥωσία ἀλλήλας αἰτιοῦνται τῆς ἐκρήξεως· κατὰ μὲν τὴν Οὐκραίναν ἡ Ῥωσία πειρᾷ τὸ τῆς Οὐκραίνας στράτευμα κωλύειν μὴ προχωρεῖν (ἡ γὰρ ἀγγελθεῖσα ἀντεπίθεσις ἤδη ἤρξατο), κατὰ δὲ τὴν Ῥωσίαν ἡ Οὐκραίνα τὸ ἑαυτῆς φράγμα ἀνετίναξεν (ἀλλὰ ὅ τι τὸ κέρδος τῇ Οὐκραίνᾳ τοῦτο ποιησάσῃ ἔσοιτο οὐκ εἶπον).

## ΗΑΠ

**10 Ἰουνίου 2023**



Διαμένει ἐν ταῖς ΗΑΠ τὸ πρᾶγμα τὸ περὶ τῶν ἀπορρήτων ἐγγράφων ἃ ὁ Δόναλδ Τρᾶμπ, ἐν

ταῖς ἀρχαιρεσίαις νικηθεὶς καὶ τὴν Λευκὴν Οἰκίαν καταλείψων, ἑαυτῷ συνέλαβεν, τῇ οὖν Τρίτῃ τῆς ἐπιγιγνομένης ἑβδομάδος δεήσει αὐτὸν ἐν τῇ Μιάμι ἐπαρχίᾳ εἰς τὸ δικαστήριον αὖθις ἰέναι, εἰς γαρ δίκην καλοῦνται αὐτόν.

κατὰ δὲ τὸν κατήγορον ὁ Τρᾶμπ ἐκ μὲν τῆς Λευκῆς Οἰκίας πολλὰς θήκας ἤνεγκεν ἐν αἷς πολλὰ τοιαῦτα ἀπόρρητα ἔγγραφα ἔκειτο, κατέθηκε δὲ αὐτὰς εἰς τὸ τῆς ἑαυτοῦ οἰκίας λουτρόν (ὃ ἐν τῇ φωτογραφίᾳ ἰδεῖν δυνάμεθα), ἔπειτα δὲ ταῦτα τὰ ἔγγραφα ἀπέδειξε ἀνθρώποις οἷς οὐδαμῶς ἐξουσίαν ἦν αὐτὰ ἀναγιγνώσκειν ἅτε ἀπόρρητα ὄντα.

## Ἰταλία

**13 Ἰουνίου 2023**



Ὁ Σίλβιο Βερλουσκόνι, ὀγδοήκοντα καὶ ἓξ ἔτη γεγονώς, ἀπέθανε χθὲς τῇ Δευτέρᾳ ἐν τῇ Ἰταλίᾳ, λευχαιμίαν γὰρ ἤδη πολὺν χρόνον ἔπασχεν. ἡ ἀρχὴ ἐγένετο αὐτῷ περιστρεφομένη θύρα, τριάκοντα γὰρ ἐτῶν τετράκις τῆς Ἰταλίας πρωθυπουργὸς ἐγένετο· καὶ εἰ τούτοις τοῖς ἔτεσι πολλαὶ ἀμφισβητήσεις ἠνάγκαζον αὐτὸν τὴν ἀρχὴν καταλιπεῖν, οὐ διὰ πολὺ εἰς τὴν ἀρχὴν ἐπανῄει αὖθις πρωθυπουργὸς γενόμενος, τοὺς γὰρ πολίτας ῥᾳδίως ἔπειθε τῇ ῥητορικῇ χρώμενος.

ἡ δὲ τελευταία τοῦ Σ. Β. ἀμφισβήτησις σύνδεσμον ἔχει τῷ ἐν τῇ Οὐκραίνᾳ πολέμῳ, ὁ γὰρ Καβαλιέρε (τοιούτῳ γὰρ τῷ ἐπιθέτῳ πολλοὶ αὐτὸν ἐκάλουν), πάντων τῶν Εὐρωπαίων ἀρχόντων τὸν Ποῦτιν αἴτιον νομιζόντων, ἐν τῷ φανερῷ τὸν μὲν Ζελένσκι ἔψεξεν, τῷ δὲ Ποῦτιν ἐπεκούρει· κατὰ δὲ πολλοὺς ὁ Σ. Β. πρόγονος τοῦ Δόναλδ Τρᾶμπ ἦν.

## ΗΑΠ-Σίνα

**15 Ἰουνίου 2023**



Ὁ τῆς Ἀμερικανῆς διπλωματίας ἄρχων, ὁ Antony Blinken, ἐπώτρυνε χθὲς τὸν ἑαυτοῦ Σινικὸν ὁμόλογον Qin Gang τὰς τῆς ἐπικοινωνίας ὁδοὺς ἀνεῳγμένας διασῴζειν. ὁ μὲν τῆς Λευκῆς Οἰκίας φερέφωνος εἶπε προχθὲς ὅτι ὁ A. B. τῷ Σαββάτῳ πρὸς τὴν Σίναν πορευθήσοιτο, διὰ δὲ τοῦτο πρὸ ταύτης τῆς ἐντεύξεως ὁ A. B. καὶ ὁ Q. G. προηγουμένως τηλεφωνικῶς ἀλλήλοις διελέχθησαν.

ἔδει δὲ τὸν A. B. πρὸς τὴν Σίναν τῷ Φεβρουαρίῳ πορεύεσθαι, ἀλλὰ ἀεροστατικῆς σφαίρας ὑπὲρ τῆς Ἀλάσκα πετομένης (κατασκοπικῆς μὲν κατὰ τὰς ΗΑΠ, μετεωρολογικῆς δὲ κατὰ τὴν Σίναν) ἡ ἔντευξις ἀνῃρέθη.

ἡ συντονία οὐκ εὖ διάκειται, τὸ δὲ Ταιβὰν διαμένει ὡς ἡ κεφαλαία τῆς Σίνης πρὸς τὰς ΗΑΠ σύγκρουσις.

## Φινλανδία

**18 Ἰουνίου 2023**




Ὁ τῆς Σάννα Μάριν χρόνος τῷ τέλει προσχωρεῖ· οὕτως οὖν ἡ μὲν χώρα, νεωστὶ εἰς τὸν τοῦ

Βορείου Ἀτλαντικοῦ Συμφώνου Ὀργανισμὸν (ΒΑΣΟ) εἰσελθοῦσα, οὐ διὰ πολλοῦ ἄλλους ἄρχοντας ἕξει, πρὸς τὴν δεξιὰν κλινομένους, ὁ δὲ Πέττερι Ὄρπο (ἐν τῇ φωτογραφίᾳ), ὃς ἐν ταῖς ἀρχαιρεσίαις τῷ Ἀπριλίῳ γενομέναις ἐνίκησεν, νέος πρωθυπουργὸς γενήσεται· ὅμως δὲ τοῦτο οὐκ ἔσται μονοχρωματικὴ ἀρχὴ ἀλλὰ σύστασις τεττάρων κομμάτων.

ἡ Σάννα Μάριν εἰς τὴν ἀρχὴν τῷ 2019ῳ ἔτει ἀφίκετο μόνον τριάκοντα καὶ τέτταρα ἔτη γεγονυῖα, ἡ δὲ τοῦ δήμου πρὸς αὐτὴν χάρις μεγίστη ἐγένετο, καὶ ἔξω τῆς Φινλανδίας· τῆς δὲ τῶν πολιτῶν περὶ τοῦ διὰ μέσου εἶναι γνώμης μεταβληθείσης διὰ τὴν ὑπὸ τοῦ Ποῦτιν εἰς τὴν Οὐκραίναν εἰσβολὴν, τὴν χώραν πρὸς τὸν ΒΑΣΟ ἤλασεν.

## Ἀτλαντικὸς Ὠκεανός

**20 Ἰουνίου 2023**



Οὔπω ηὗρον τὸ ὑποβρύχιον ὃ προχθὲς τῇ Κυριακῇ, πρὸς τὰ τῆς ἐνδόξου νεὼς Τιτάνικ ἐρείπια πορευόμενον, ἠφανίσθη. τὸ δὲ ὑποβρύχιον πέντε μὲν ἀνθρώπους (δύο ναύτας καὶ τρεῖς περιηγητὰς) πρὸς τὰ ἐρείπια ἐκόμιζεν, μετὰ δὲ μίαν ὥραν καὶ τετταράκοντα καὶ πέντε λεπτὰ ἠφανίσθη· κατὰ δὲ τὴν ἑταιρείαν ἣ τοιαύτας τὰς πορείας συντάττει τὸ ὑποβρύχιον ἀέρα τε καὶ ἄλλα εἰς τὸ ἐνενήκοντα καὶ ἓξ ὥρας περιεῖναι ἀναγκαῖα ἔχει, ὧν τὸ ἥμισυ ἤδη ἐξελήλυθεν.

ἡ μὲν Τιτάνικ τῷ 1912ῳ ἔτει κατέδυ, τὰ δὲ τῆς ναυαγίας ἐρείπια τῷ 1985ῳ ἔτει ηὑρέθη, τοιαῦται δὲ πορεῖαι συντάττονται τούτοις οἵτινες ἂν τὰ ἐρείπια ἰδεῖν βούλωνται, ἀλλὰ τοιαύτη ἡ πορεία τιμιωτάτη ἐστίν, δεῖ γὰρ τοὺς τῆς ἐντεύξεως μετέχειν βουλομένους 250,000 δολάρια ἀποτίνειν.

## ΗΑΠ

**23 Ἰουνίου 2023**



Ἴσως ἡ ἄρρηκτος ἀνάγκη ταῖς τῇ τε Σίνῃ καὶ ταῖς ΗΑΠ, ταῖς ἰσχυροτάταις τοῦ κόσμου χώραις, εἰς ἀεὶ οὕτως μενεῖ ὥστε οὐδέποτε φιλικῶς πρὸς ἀλλήλας κατακεῖσθαι, εἰ γὰρ ὁ Antony Blinken νεωστὶ πρὸς τὴν Σίνην ἐπορεύθη ἵνα τὴν κοινωνίαν βελτιώσειε καὶ διπλωματικὰς γεφύρας οἰκοδομοίη, ὁ τῶν ΗΑΠ πρόεδρος Biden δοκεῖ ἀπὸ ταύτης τῆς ὁρμῆς ἀποτρέπεσθαι, μιᾶς δὲ ἡμέρας μετὰ ταύτην τὴν ἔντευξιν ἐξελθούσης ἐκάλεσε τὸν Xi Jinping "δικτάτορα." οὕτως οὖν δῆλόν ἐστι πᾶσιν ὅτι ἐν ταῖς ΗΑΠ δύο ἐναντίαι ὁρμαὶ τυγχάνουσι συμμιγεῖς συνοικοῦσαι, ἡ μὲν τῶν πλείστην σπουδὴν ποιουμένων ὥστε τὴν συντονίαν βελτιοῦν, οἱ δὲ τῶν τὴν ἀντικατάστασιν προαιρουμένων.

## Ῥωσία

**25 Ἰουνίου 2023**



Τῷ Σαββάτῳ ἡ Ῥωσία ἀπροσδόκητον κρίσιν ἔπαθεν, ἡ γὰρ ἑταιρεία Βάγνερ, μίσθιοι στρατιῶται οἳ ἐκ τῆς τοῦ πολέμου ἀρχῆς τῷ Ποῦτιν ἐπεκούρουν τε καὶ συνεμάχοντο (καὶ εἰ τὰ πρὸς τὸ Κρέμλινον ῥήγματα καθ' ἡμέραν ηὐξάνετο), τῷ Πούτιν ἐπανέστησαν.

ὡς συνελόντι εἰπεῖν, ὁ τῆς ἑταιρείας ἡγεμών, Πριγόζιν, πρῶτον μὲν ἐκέλευσε τὰ τεθωρακισμένα ἅρματα τὴν Οὐκραίναν ἀπολιπόντα ἐπὶ τὴν πρωτεύουσαν Μόσχαν τρέπεσθαι,

οἱ δὲ λόγοι “ἐμφύλιος πόλεμος“ ἤρξαντο ἄνω καὶ κάτο τρέχοντες, ὁ γὰρ Ποῦτιν τὰ ἑαυτοῦ τεθωρακισμένα ἅρματα διὰ τῆς Μόσχης ἐσκέδασεν, ἔπειτα δὲ τοῦ τῆς Λευκορωσίας προέδρου Λουκασιέγκο μεσιτεύσαντός τε καὶ συνθήκην κτησαμένου ἐκέλευσε τοὺς τῆς ἑταιρείας στρατιώτας, ἤδη μόνον διακόσια χιλιόμετρα ἀπὸ τῆς πρωτευούσης ἀπέχοντας, παύεσθαι καὶ ἀναχωρήσαντας πρὸς τὰ στρατόπεδα ἐπανελθεῖν.

νῦν δὲ ὁ Πριγόζιν, τοῦ Ποῦτιν ἐθέλοντος, εἰς τὴν Λευκορωσίαν ἀπελθὼν οὐ δικασθήσεται, ἴσως γὰρ τοῦτο μέρος ἦν τῆς συνθήκης.